## ΣΥΜΠΟΣΙΟΝ

### 12

Plu. *Mor.* (*Qu. Conviv.*) 651 b–652 a. ‘τὸν δ’ οἶνον ἐπιθυμῶ μαθεῖν, ὁπόθεν ὑπόνοιαν ἡμῖν τοῦ ψυχρὸς εἶναι πάρεσχεν.’ ‘οἴει γάρ’, ἔφην ἐγώ, ‘τοῦτον ἡμέτερον εἶναι τὸν λόγον;’ ‘ἀλλὰ τίνος’, εἶπεν, ‘ἑτέρου;’ ‘μέμνημαι μὲν οὖν’, ἔφην ἐγώ, ‘καὶ Ἀριστοτέλους ἐντυχὼν οὐ νεωστὶ λόγῳ περὶ τούτου τοῦ προβλήματος ἀλλ’ ἱκανῶς πάλαι.’

# ΣΟΦΙΣΤΗΣ

### 1 ($R^2$ 54, $R^3$ 65)

Diog. Laert. 8. 2. 57 (3). Ἀριστοτέλης δ’ ἐν τῷ Σοφιστῇ φησὶ πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν.

Ibid. 9. 5. 25 (4). φησὶ δ’ Ἀριστοτέλης ἐν τῷ Σοφιστῇ εὑρετὴν αὐτὸν[1] γενέσθαι διαλεκτικῆς, ὥσπερ Ἐμπεδοκλέα ῥητορικῆς.

Sext. Emp. *Math.* 7 (*Log.*). 6–7. Ἐμπεδοκλέα μὲν γὰρ ὁ Ἀριστοτέλης φησὶ πρῶτον ῥητορικὴν κεκινηκέναι . . . Παρμενίδης δὲ οὐκ ἂν δόξαι τῆς διαλεκτικῆς ἀπείρως ἔχειν, ἐπείπερ πάλιν Ἀριστοτέλης τὸν γνώριμον αὐτοῦ Ζήνωνα διαλεκτικῆς ἀρχηγὸν ὑπείληφεν.

### 2 ($R^2$ 55, $R^3$ 66)

Diog. Laert. 8. 2. 63 (9). φησὶ δ’ αὐτὸν[2] καὶ Ἀριστοτέλης ἐλεύθερον γεγονέναι καὶ πάσης ἀρχῆς ἀλλότριον, εἴ γε τὴν βασιλείαν αὐτῷ διδομένην παρῃτήσατο, καθάπερ Ξάνθος ἐν τοῖς περὶ αὐτοῦ λέγει, τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας.

### 3 ($R^2$ 56, $R^3$ 67)

Diog. Laert. 9. 8. 54 (5). πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω[3] τὸν περὶ θεῶν . . . ἀνέγνω δ’ Ἀθήνησιν ἐν τῇ Εὐριπίδου οἰκίᾳ ἢ ὥς τινες ἐν τῇ Μεγακλείδου, ἄλλοι δ’ ἐν Λυκείῳ, μαθητοῦ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415843634/25 UNIVERSITÄT LEIPZIG